# Matt. 24:1-14

| Matth. 24, 1-2 | Mark. 13, 1-2 | Luk. 21, 5-6 | Joh. |
| --- | --- | --- | --- |
| (nr. 285 23, 37-39 p. 394)<br><br>1 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ⸀ἀπὸ τοῦ ἱεροῦ ἐπορεύετο⸃, καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. 2 ὁ δὲ ⸀ἀποκριθεὶς εἶπεν αὐτοῖς· °οὐ βλέπετε ⸉ταῦτα πάντα⸊; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον ὃς οὐ καταλυθήσεται. | 1 Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ λέγει αὐτῷ εἷς ⸆ τῶν μαθητῶν αὐτοῦ· διδάσκαλε, ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαὶ⸆. 2 ⸀καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ⸃· ⸀βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; ⸆ οὐ μὴ ἀφεθῇ °ὧδε λίθος ἐπὶ ⸀λίθον ὃς οὐ °μὴ καταλυθῇ ⸆. | 5 Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ ὅτι λίθοις καλοῖς καὶ ⸀ἀναθήμασιν κεκόσμηται εἶπεν· 6 ταῦτα °ἃ θεωρεῖτε ἐλεύσονται ἡμέραι ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ ⸀λίθῳ ⸆ ὃς οὐ καταλυθήσεται. | |

| [Matth. 24, 3-8] | [Mark. 13, 3-8] | [Luk. 21, 7-11] | Joh. |
| --- | --- | --- | --- |
| αὐτῷ οἱ μαθηταὶ ⸆ κατ᾽ ἰδίαν λέγοντες· εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ ⸆ συντελείας τοῦ αἰῶνος; 4 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· βλέπετε μή τις ὑμᾶς πλανήσῃ· 5 πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες· ⸆ἐγώ εἰμι ὁ χριστός, καὶ πολλοὺς πλανήσουσιν. 6 ⸀μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ ⸆ γενέσθαι, ἀλλ᾽ οὔπω ἐστὶν τὸ τέλος. 7 ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν καὶ ἔσονται ⸀λιμοὶ καὶ σεισμοὶ⸃ κατὰ τόπους· 8 ⸉πάντα δὲ ταῦτα⸊ ἀρχὴ ⸀ὠδίνων. | αὐτὸν κατ᾽ ἰδίαν ⸆ Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας· 4 ⸀εἰπὸν ἡμῖν, πότε ταῦτα ἔσται καὶ τί τὸ σημεῖον ὅταν ⸀μέλλῃ ταῦτα συντελεῖσθαι πάντα⸃; 5 ⸀ὁ δὲ Ἰησοῦς ἤρξατο λέγειν αὐτοῖς⸃· βλέπετε μή τις ὑμᾶς πλανήσῃ· 6 πολλοὶ ⸆ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες °ὅτι ἐγώ εἰμι ⸆, καὶ πολλοὺς πλανήσουσιν. 7 ὅταν δὲ ⸀ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ ⸀θροεῖσθε· δεῖ ⸆ γενέσθαι, ἀλλ᾽ οὔπω τὸ τέλος. 8 ⸀ἐγερθήσεται γὰρ ἔθνος ἐπ᾽ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, ⸆ ἔσονται σεισμοὶ κατὰ τόπους, ⸀ἔσονται λιμοί⸆. ⸀1 ἀρχὴ ὠδίνων ταῦτα. | αὐτὸν ⸆ λέγοντες· διδάσκαλε, πότε °οὖν ταῦτα ἔσται καὶ τί τὸ σημεῖον ⸀ὅταν μέλλῃ ταῦτα γίνεσθαι⸃; 8 ὁ δὲ εἶπεν· βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες· ⸆ἐγώ εἰμι, καί· ὁ καιρὸς ἤγγικεν. μὴ ⸆ πορευθῆτε ὀπίσω αὐτῶν. 9 ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ ⸀πτοηθῆτε· δεῖ γὰρ ⸉ταῦτα γενέσθαι⸊ πρῶτον, ἀλλ᾽ οὐκ εὐθέως τὸ τέλος. 10 □Τότε ἔλεγεν αὐτοῖς⸋ ἐγερθήσεται ⸆ ἔθνος ἐπ᾽ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, 11 σεισμοί °τε μεγάλοι ⸀καὶ κατὰ τόπους⸃ ⸉λιμοὶ καὶ λοιμοὶ⸊ ἔσονται, φόβητρά τε ⸀καὶ ἀπ᾽ οὐρανοῦ σημεῖα μεγάλα ἔσται⸃. | |
| 24, 11 (nr. 289, p. 398)<br>11 Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσιν πολλούς. | | 17, 21 (nr. 234, p. 315)<br>…21 οὐδὲ ἐροῦσιν· ἰδοὺ ὧδε ἤ· ἐκεῖ, ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν. | |
| 24, 23-26 (nr. 291, p. 403)<br>23 Τότε ἐάν τις ὑμῖν εἴπῃ· ἰδοὺ ὧδε ὁ χριστός, ἤ· ὧδε, μὴ πιστεύσητε· 24 ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα μεγάλα καὶ τέρατα ὥστε πλανῆσαι, εἰ δυνα- | 13, 21-23 (nr. 291, p. 403)<br>21 Καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ· ἴδε ὧδε ὁ χριστός, ἴδε ἐκεῖ, μὴ πιστεύετε· 22 ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνα- | 17, 23 (nr. 235, p. 316)<br>23 Καὶ ἐροῦσιν ὑμῖν· ἰδοὺ ἐκεῖ, [ἤ·] ἰδοὺ ὧδε· μὴ ἀπέλθητε μηδὲ διώξητε. | |

| [Matth. 24,23-26] | [Mark. 13,21-23] | Luk. | Joh. |
|---|---|---|---|
| τόν, καὶ τοὺς ἐκλεκτούς. ²⁵ἰδοὺ προείρηκα ὑμῖν. ²⁶ἐὰν οὖν εἴπωσιν ὑμῖν· ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστίν, μὴ ἐξέλθητε· ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε. | τόν, τοὺς ἐκλεκτούς. ²³ὑμεῖς δὲ βλέπετε· προείρηκα ὑμῖν πάντα. | | |

| **Matth. 24, 9-14**<br>10,17-22a; 24,5.24; 10,30 | **Mark. 13, 9-13**<br>13,6.22 | **Luk. 21, 12-19**<br>12,11-12; 21,8b; 12,7 | Joh. 16,2; 15,21; 14,26 |
|---|---|---|---|
| ⁹ᵃΤότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ ἀποκτενοῦσιν ὑμᾶς, ... | | | |
| 10,17-22a *(nr. 100, p. 147)*<br>¹⁷Προσέχετε °δὲ ἀπὸ τῶν ἀνθρώπων·<br>παραδώσουσιν γὰρ °¹ὑμᾶς εἰς συνέδρια καὶ ⸀ἐν ταῖς συναγωγαῖς αὐτῶν⸁ μαστιγώσουσιν ὑμᾶς· ¹⁸καὶ ἐπὶ ⸀ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε⸁ ἕνεκεν ⸀ἐμοῦ<br>εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν.<br>¹⁹ὅταν δὲ ⸀παραδῶσιν ὑμᾶς,<br>cf. 17 | ⁹ ⸋Βλέπετε δὲ ὑμεῖς °ἑαυτούς⸌·<br>⸀παραδώσουσιν ὑμᾶς⸁ εἰς συνέδρια καὶ εἰς συναγωγὰς δαρήσεσθε καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ<br>εἰς μαρτύριον αὐτοῖς⸌.<br>¹⁰καὶ εἰς πάντα τὰ ἔθνη ⸀πρῶτον δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον⸆.<br>¹¹⸀καὶ ὅταν⸁ ἄγωσιν ὑμᾶς παραδιδόντες,<br>cf. v. 9 | 21, 12-19<br>¹²Πρὸ δὲ τούτων πάντων ἐπιβαλοῦσιν ⸀ἐφ᾽ ὑμᾶς⸁ τὰς χεῖρας αὐτῶν καὶ διώξουσιν, παραδιδόντες εἰς °τὰς συναγωγὰς καὶ φυλακάς, ⸀ἀπαγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· ¹³ἀποβήσεται ⸆ὑμῖν εἰς μαρτύριον.<br>¹⁴θέτε °οὖν ⸀ἐν ταῖς καρδίαις⸁ ὑμῶν<br>cf. v. 12 | 16,2 *(nr. 324, p. 450)*<br>²Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ᾽ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ.<br>15,21 *(nr. 322, p. 449)*<br>²¹Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν εἰς ὑμᾶς διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασιν τὸν πέμψαντά με.<br>12, 11-12 *(nr. 198, p. 284)*<br>¹¹"Ὅταν δὲ ⸀εἰσφέρωσιν ὑμᾶς ⸀ἐπὶ τὰς ⸉συναγωγὰς °καὶ τὰς |

| [Matth. 10, 17-22 a] | [Mark. 13, 9-13] | [Luk. 21, 12-19] | [Luk. 12, 11-12] | Joh. |
|---|---|---|---|---|
| μὴ μεριμνήσητε □πῶς ἢ⸌ τί λαλήσητε· □δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσητε⸌· | μὴ ⸀προμεριμνᾶτε τί λαλήσητε⸀, ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τοῦτο λαλεῖτε· | μὴ ⸀προμελετᾶν ἀπολογηθῆναι· [15]ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν ᾗ οὐ δυνήσονται ⸂ἀντιστῆναι ἢ ἀντειπεῖν⸃ ⸀ἅπαντες οἱ ἀντικείμενοι ὑμῖν. | ἀρχὰς⸆ καὶ τὰς ἐξουσίας, μὴ ⸀μεριμνήσητε ⸂πῶς ἢ τί⸃ ἀπολογήσησθε ἢ τί εἴπητε· [12]τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν. | |
| [20]οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς °ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. | οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. | | 14, 26 (nr. 318, p. 445) [26]Ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν [ἐγώ]. | |
| [21]Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ ⸀τέκνον, καὶ ⸀ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. [22a]καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. | [12]⸂καὶ παραδώσει⸃ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ ⸀ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς· | [16]παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων □καὶ ἀδελφῶν⸌ καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν, | | |
| 24, 9b-14 … καὶ ἔσεσθε μισούμενοι ὑπὸ ⸂πάντων τῶν ἐθνῶν⸃ διὰ τὸ ὄνομά μου. [10]καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσιν ⸂καὶ μισήσουσιν ἀλλήλους⸃· [11]καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσιν πολλούς· [12]καὶ διὰ τὸ ⸀πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. | [13]καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. | [17]καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. [18]□καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν | | |

| [Matth. 24, 9-14] | [Mark. 13, 9-13] | [Luk. 21, 12-19] | | Joh. |
|---|---|---|---|---|
| [13]ὁ δὲ ὑπομείνας εἰς τέλος °οὗτος σωθήσεται. [14]καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον □τῆς βασιλείας⸌ ⸂ἐν ὅλῃ τῇ οἰκουμένῃ⸃ εἰς μαρτύριον πᾶσιν τοῖς ἔθνεσιν, καὶ τότε ἥξει τὸ τέλος. | ὁ δὲ ὑπομείνας εἰς τέλος °οὗτος σωθήσεται. | οὐ μὴ ἀπόληται.⸌ [19]ἐν τῇ ὑπομονῇ ὑμῶν ⸀κτήσασθε ⸂τὰς ψυχὰς ὑμῶν⸃. | | |
| 24, 5 (nr. 288, p. 396) [5]Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες· ἐγώ εἰμι ὁ χριστός, καὶ πολλοὺς πλανήσουσιν. | 13, 6 (nr. 288, p. 396, [6]Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι, καὶ πολλοὺς πλανήσουσιν. | 21, 8 b (nr. 288, p. 396) [8]… πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες· ἐγώ εἰμι, καί· ὁ καιρὸς ἤγγικεν. μὴ πορευθῆτε ὀπίσω αὐτῶν. | | |
| 24, 24 (nr. 291, p. 403) [24]Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα μεγάλα καὶ τέρατα ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. | 13, 22 (nr. 291, p. 403) [22]Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατόν, τοὺς ἐκλεκτούς. | | | |
| 10, 30 (nr. 101, p. 145) [30]Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν. | | 12, 7 (nr. 196, p. 281) [7]Ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. μὴ φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε. | | |